οἷς δεῖπνα προὔθηκ'· ἀλλὰ τοῦδ' οὔπω ξένου
κακίον' ἐς τήνδ' ἑστίαν ἐδεξάμην.
ὃς πρῶτα μὲν πενθοῦντα δεσπότην ὁρῶν
ἐσῆλθε κἀτόλμησ' ἀμείψασθαι πύλας.
ἔπειτα δ' οὔτι σωφρόνως ἐδέξατο
τὰ προστυχόντα ξένια, συμφορὰν μαθών,
ἀλλ', εἴ τι μὴ φέροιμεν, ὤτρυνεν φέρειν.
ποτήριον δ' ἐν χερσὶ κίσσινον λαβὼν
πίνει μελαίνης μητρὸς εὔζωρον μέθυ,
ἕως ἐθέρμην' αὐτὸν ἀμφιβᾶσα φλὸξ
οἴνου· στέφει δὲ κρᾶτα μυρσίνης κλάδοις
ἄμουσ' ὑλακτῶν· δισσὰ δ' ἦν μέλη κλύειν·
ὃ μὲν γὰρ ᾖδε, τῶν ἐν Ἀδμήτου κακῶν
οὐδὲν προτιμῶν, οἰκέται δ' ἐκλαίομεν
δέσποιναν· ὄμμα δ' οὐκ ἐδείκνυμεν ξένῳ
τέγγοντες· Ἄδμητος γὰρ ὧδ' ἐφίετο.
καὶ νῦν ἐγὼ μὲν ἐν δόμοισιν ἑστιῶ
ξένον, πανοῦργον κλῶπα καὶ λῃστήν τινα,
ἡ δ' ἐκ δόμων βέβηκεν, οὐδ' ἐφεσπόμην
οὐδ' ἐξέτεινα χεῖρ', ἀποιμώζων ἐμὴν
δέσποιναν, ἣ 'μοὶ πᾶσί τ' οἰκέταισιν ἦν
μήτηρ· κακῶν γὰρ μυρίων ἐρρύετο
ὀργὰς μαλάσσουσ' ἀνδρός. ἆρα τὸν ξένον
στυγῶ δικαίως, ἐν κακοῖς ἀφιγμένον;

ΗΡΑΚΛΗΣ.

οὗτος, τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις;
οὐ χρὴ σκυθρωπὸν τοῖς ξένοις τὸν πρόσπολον
εἶναι, δέχεσθαι δ' εὐπροσηγόρῳ φρενί.
σὺ δ' ἄνδρ' ἑταῖρον δεσπότου παρόνθ' ὁρῶν
στυγνῷ προσώπῳ καὶ συνωφρυωμένῳ

749 ξένον Dobree 750 ἐς *S*] εἰς *r* 755 φέροιεν *B* | ὤτρυνε *BP* 756 ποτήριον δ' ἐν χερσὶ Musgrave] ποτῆρα δ' ἐν χείρεσι (χείρεσσι *a*) libri 759 μυρσίνης Canter] μυρσίνοις libri 760 sq. δισσὰ δ' ἦν μέλη κλύειν· ὃ μὲν γὰρ ᾖδε om. *S* (*P*, 760 in marg., 761 in ras. scr. *l*) 761 ἦδε *B* 762 οἰκέται Blaydes] οἰκέται libri, cfr. Ion. 1111 765 ἑστιῶ *Ba* 766 fort. κακοῦργον 767 ἐφεπόμην *B* fort. ἐφειπόμην 769 ἣ 'μοὶ Wakefield] ἥ μοι libri 770 ἐρρύετο *S*] ἐρύετο *r* 771 ἄρα *BP* corr. *P*[1] 777 συνωφρυωμένος Nauck